τοῦ δούλου σου.
Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος
ἔσομαι, καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.
Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στό-
ματός μου, καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπι-
όν σου διαπαντός.
Κύριε βοηθέ μου, καὶ λυτρωτά μου.

Εἰς τὸ τέλος. ψαλμὸς τῷ Δαβίδ. ιθ΄.

Ἐπακούσαι σου κύριος ἐν ἡμέρᾳ θλίψε-
ως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ θεοῦ
Ἰακώβ.
Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σι-
ὼν ἀντιλάβοιτό σου.
Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτω-
μά σου πιανάτω.
Δῴη σοι κύριος κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν
τὴν βουλήν σου πληρώσαι.
Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου, καὶ ἐν
ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.
Πληρώσαι κύριος πάντα τὰ αἰτήματά σου,
νῦν ἔγνων ὅτι ἔσωσε κύριος τὸν χριστὸν αὐτοῦ.
Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ,

http://digital.slub-dresden.de/ppn346241804/51